Ημι. Καὶ τάσδε νῦν λαγαρὰς
Τοῖν σκελίσκοιν τὸν ῥυθμόν, τάχα γὰρ ἔπεισι
Λοπαδοτεμαχοσελαχογαλεο-
Κρανιολειψανοδριμυποτριμματο-
Σιλφιοπαραομελιτοκατακεχυμενο-
Κινκλεπικοσσυφοφαττοπεριστερα-
Λεκτρυονοπτεκεφαλλιονιγκλοπε-
Λειολαγῳοσιραιοβαφητραγανοπτερύγων.
Σὺ δὲ ταῦτ' ἀκροασάμενος ταχὺ καὶ ταχέως
Λαβὲ τρύβλιον. εἶτα λαβὼν κόνισαι
Λέκιθον ἵν' ἐπιδειπνῇς.
Ημι. Ἀλλὰ λαιμάττουσί που.
Αἴρεσθ' ἄνω. ἰαὶ εὖ αἶ.
Δειπνήσομεν εὖ οἷ εὖ αἶ.
Εὐαίως ἐπινίκι εὖ αἶ. εὖ αἶ. εὖ αἶ. εὖ αἶ. εὖ αἶ.

A *Et has nunc leues*
*Cruribus numero. citò enim veniunt*
*Ollæ, succidiæ, cartilaginea, musteli,*
*Caluariarum reliquiæ acri cum intrito,*
*Laser melle interfuso,*
*Motacillæ, merulæ, columbæ,*
*Gallarum tosta capitula, motacillarum,*
*Columbarum, leporum intinctu inspersa vnà cum aliis:*
B *Tu autem hæc audiens citò & citò*
*Cape scutellam, post capiens ordina*
*Ouum, vt cœnes.*
SEMI. *Sed deuorant.*
CHO. *Eleuamini, euge, euge, euge.*
*Cœnemus, euge, euge, euge,*
*Ruenter in victoria, euge, euge, euge, euge, euge, euge, euge, euge.*

C BISETVS. Τάσδε νῦν λαγαράς] τὰς ὑποκένους, ὅτι δηλονότι οὐδέπω ἐδεδειπνήκεισαν. Τοῖν σκελίσκοιν τὸν ῥυθμόν] ἡ σύνταξις αὕτη. ταῦτα μετὰ τῶν προηγουμένων συναπτέον, καὶ ὥρα δή ἐστι τάσδε νῦν λαγαρὰς τοῖν σκελίσκοιν κατὰ ῥυθμὸν αὐτὰς ὑπαρακινεῖν, τουτέστι μετὰ ῥυθμοῦ, καὶ ἐμμελῶς ὀρχεῖσθαι. ῥυθμὸς δὲ κατὰ τὸν Σουίδαν, τάξις ἔμμελος ἀκολούθου ἁρμονίας. μέλος εὔφωνον. σύγκρουσις. πατὴρ μέτρου ῥυθμός. καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων, καὶ ῥυθμῶν διδασκαλία. „ Ο δὲ τὰς αὐλητρίδας κελεύει ῥυθμόν τινα βαρβαρικὸν ἐπαυλῆσαι οἱ. διαφέρει δὲ ῥυθμὸς μέτρου. τῷ τὸν μὲν γενικώτερον εἶναι. τὸ δὲ μέτρον ὑπάρχειν εἶδος τοῦ ῥυθμοῦ. θεωρεῖται γὰρ ὁ ῥυθμὸς καὶ ἐπὶ τῶν κροτούντων ταῖς χερσὶ, καὶ τοῖς ποσίν. ὅταν γὰρ ἡ ταχεῖα, καὶ βραδεῖα τῶν ποδῶν ἄρσις; καὶ θέσις λόγον ἔχουσι πρὸς ἄλληλα, ῥυθμὸς γίνεται. καὶ ἐντεῦθεν ἀπὸ μεταφορᾶς τούτων ἡ τοιάδε συλλαβῶν συμπλοκὴ, ἣν παραλαμβάνομεν πρὸς τὴν τῶν μέτρων γένεσιν, πόδες ἐκλήθησαν. καὶ ἐπὶ αὐλῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων ὁ ῥυθμὸς λέγεται, συμμετρία ὢν τοῦ χρόνου, ἐν ᾧ ἡ κίνησις γίνεται. καὶ γὰρ τῶν τρημάτων τῶν αὐλῶν τὰ μὲν ἐπὶ πλείονα χρόνον τοῖς δακτύλοις ἐπιπωματίζουσι. τὰ δ' ἐπ' ἐλάττονα. καὶ οὕτω τῶν ἀπηχήσεων τὴν μὲν μακροτέραν ποιοῦσι. τὴν δὲ βραχυτέραν. καὶ ἔτι τῶν τρημάτων τὰ μὲν, μείζονά εἰσι, τὰ δὲ, ἐλάττονα. καὶ τὰ μὲν, ἐγγυτέρω τῆς ἐπιγλωττίδος. τὰ δὲ, πορρωτέρω. καὶ τὰ μὲν, στενότερα, ὀξύτερά εἰσι τῶν εὐρυτέρων. διὸ καὶ αἱ τῶν παίδων φωναὶ, καὶ αἱ τῶν γυναικῶν ὀξύτεραι. τὰ δὲ εὐρύτερα, βαθύτερα. Ομοίως καὶ τὰ ἐγγυτέρω τῶν πορρωτέρων ὀξύτερα. ὧν τῇ συμμετρίᾳ ἁρμονία, καὶ τὸ μέλος γίνεται. ῥυθμὸς δὲ τῇ τοῦ ταχέως, καὶ βραδέως. ὁ μὲν οὖν ἐπὶ τῶν ἄλλων ῥυθμὸς, κατὰ τὸ βραχὺ, καὶ βραδὺ χαρακτηρίζεται. ὁ δὲ ἐπὶ τοῦ προφορικοῦ λόγου, κατὰ τὸ μακρὸν, καὶ βραχύ. ὅσπερ μόνος καὶ μέτρον λέγεται. οὐκ ἐπὶ τῶν ποιητικῶν δὲ ταῦτα μόνον θεωρεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν ῥητορικῶν.

D Σχόλια. Κόνισαι] γυμνάσθητι.

BISETVS. Λέκιθον] Εὐστάθιος. λέκιθος ἀρσενικῶς εἶδος ὀσπρείου ὁμωνύμως τῷ ἐν τοῖς ὠοῖς κροκοειδεῖ. καὶ λεκιθίτης πλακοῦς, ᾧ καὶ ὠοῦ λέκιθος παραμέμικται. Σ. δὲ, λέκιθος εἶδος ὀσπρείου, ὃ καλεῖται πισός, διὰ τὸ ἐοικέναι τὴν χρόαν λεκίθῳ ὠοῦ. Λαιμάττουσι] Σ. λαιμάσσειν, ἀμέτρως ἐσθίειν. ἀττικῶς δὲ λαιμάττειν. λέγεται δὲ παρὰ τὸν λαιμὸν, δι' οὗ τὰς τροφὰς εἰς τὴν γαστέρα εἰσβάλλομεν. λαιμὸς δὲ κατὰ τὸν Ησύχιον ταυτὸν τῷ φάρυγξ, λάρυγξ, καὶ βρόγ-

E χος. Εὐαίως ἐπινίκια] ἐπινίκια τὰ τοτὲ μὲν εὐωχίαν νίκης τινὸς ἕνεκα ποιουμένην σημαίνει, ὡς δηλοῖ Αθήναιος ἐν τῷδε τοῦ Αριστοφάνους στίχῳ ἐκ τῶν Πελαργῶν,

Ατταγᾶς ἥδιστον ἑψεῖν ἐν ἐπινικίοις κρέας.

τοτὲ δὲ ᾄσματα, καὶ ᾠδὰς ἐπινικίους, ἃς σὺν λύρᾳ ᾄδεσθαι εἰώθεισαν. καὶ ἀμφοτέραν ἑρμηνείαν οὗτος ὁ τόπος προσδέχεται. εὐαίως δὲ, εὐμοίρως, μακαρίως.

ΤΕΛΟΣ.